eul_wid: iyi-aa

*Λύγκευς ὁ Σάμιος* · Lynceus of Samos the Comic Poet

# Fragments on Athenian Dining

*Ἀποσπάσματα περὶ Ἀθηναίων Δείπνων*

**Period:** *Ἑλληνιστική* Hellenistic
**Dialect:** *Ἀττική* Attic (com, frg)
**Domain:** *Κωμῳδία* Comedy
**Format:** *Ἔμμετρος* Verse

book 1.1 μάγειρ', ὁ θύων ἔσθ' ὁ δειπνίζων τ' ἐμὲ Ῥόδιος, ἐγὼ δ' ὁ κεκλημένος

book 1.2 Περίνθιος· οὐδέτερος ἡμῶν ἥδεται

book 1.3 τοῖς Ἀττικοῖς δείπνοις. ἀηδία γάρ ἐστιν Ἀττικὴ[ln_5]ὥσπερ ξενική· παρέθηκε πίνακα γὰρ μέγαν, ἔχοντα μικροὺς πέντε

book 1.4 πινακίσκους ἐν οἷ. τούτων ὁ μὲν ἔχει

book 1.5 σκόροδον, ὁ δ' ἐχίνους δύο, ὁ δὲ θρυμματίδα γλυκεῖαν, ὁ δὲ κόγχας δέκα, ὁ δ' ἀντακαίου μικρόν. ἐν ὅσῳ δ' ἐσθίω,[ln_10]ἕτερος ἐκεῖν', ἐν ὅσῳ δ' ἐκεῖνος, τοῦτ' ἐγὼ ἠφάνισα· βούλομαι δ' ἐγώ, βέλτιστε σύ, κἀκεῖνο καὶ τοῦτ', ἀλλ' ἀδύνατα βούλομαι·

book 1.1 οὔτε

book 1.2 στόματα γὰρ οὔτε

book 1.3 χείλη πέντ' ἔχω. ὄψιν μὲν οὖν ἔχει τὰ τοιαῦτα

book 1.4 ποικίλην,

book 1.1 [ln_15][spk_β]ἀλλ' οὐδέν ἐστι

book 1.2 τοῦτο

book 1.3 πρὸς τὴν γαστέρα· κατέπασα γὰρ τὸ χεῖλος, οὐκ ἐνέπλησα δέ. Β. τί οὖν; Α. ἔχεις ὄστρεια; Β. πολλά. Α. πίνακά μοι

book 1.4 τούτων

book 1.5 παραθήσεις αὐτὸν ἐφ' ἑαυτοῦ μέγαν. ἔχεις ἐχίνους; Β. ἕτερος ἔσται

book 1.6 σοι πίναξ·

book 1.1 [ln_20][spk_α]αὐτὸς γὰρ αὐτὸν ἐπριάμην ὀκτὼ 'βολῶν. Α. ὀψάριον αὐτὸ τοῦτο

book 1.2 παραθήσεις μόνον, ἵνα

book 1.3 ταὐτὰ πάντες, μὴ τὸ μὲν ἐγώ, τὸ δ' ἕτερος.